ΙΕΡΑ ΜΕΓΙΣΤΗ ΜΟΝΗ ΒΑΤΟΠΑΙΔΙΟΥ

# ΠΑΝΗΓΥΡΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΓΡΗΓΟΡΙΟΥ του ΠΑΛΑΜΑ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

## ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΙΕΡΑ ΜΕΓΙΣΤΗ ΜΟΝΗ ΒΑΤΟΠΑΙΔΙΟΥ

# Τῇ 14ῃ τοῦ μηνὸς Νοεμβρίου μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου Ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ Παλαμᾶ τοῦ Θαυματουργοῦ.

## Ἐν τῷ Μικρῷ Ἑσπερινῷ.

**Ἱστῶμεν στίχους δ′ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τοῦ Ἱεράρχου δευτεροῦντες τὸ πρῶτον.**

*Ἦχος α′. Τῶν οὐρανίων ταγμάτων.*

Τὴν μακαρίαν ἐν κόσμῳ, ζωὴν διήνυσας, καὶ νῦν τῶν μακαρίων, συνευφραίνῃ τοῖς δήμοις, καὶ γῆν τὴν τῶν πραέων ὡς πρᾶος οἰκεῖς, Ἱεράρχα Γρηγόριε, χάριν θαυμάτων πλουτεῖς δὲ παρὰ Θεοῦ, ἣν παρέχεις τοῖς τιμῶσί σε. *(Δίς)*

Ὀρθοδοξίας τὰ δόγματα κατεφύτευσας, κακοδοξίας μάκαρ, ἐκτεμῶν τὰς ἀκάνθας, καὶ πίστεως τὸν σπόρον πληθύνας καλῶς, τῇ ἐπομβρίᾳ τῶν λόγων σου, ἑκατοστεύοντα στάχυν ὡς πρακτικός, γεωργὸς Θεῷ προσήνεγκας.

Τὴν τοῦ ἀμέμπτου σου βίου, μάκαρ λαμπρότητα, ἐθαύμασαν Ἀγγέλων, καὶ ἀνθρώπων οἱ δῆμοι, καὶ γὰρ τῇ προαιρέσει στεῤῥὸς ἀθλητής, καὶ ἀσκητὴς ἀναδέδειξαι, καὶ Ἱεράρχης καὶ ἄξιος λειτουργός, τοῦ Θεοῦ καὶ φίλος γνήσιος.

*Δόξα. Ἦχος πλ. β′.*

Ὅσιε τρισμάκαρ, Ἁγιώτατε Πάτερ· ὁ Ποιμὴν ὁ καλός, καὶ τοῦ Ἀρχιποίμενος Χριστοῦ μαθητής, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων· αὐτὸς καὶ νῦν Πατὴρ ἡμῶν Ἱεράρχα Γρηγόριε· αἴτησαι πρεσβείαις σου, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς. Σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ Ἱεράρχου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

## Εἰς τὸν Στίχον.

### Στιχηρὰ Προσόμοια.

*Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Στήλην σε ἱεράν, πίστεως Ὀρθοδόξου, ἔγνωμεν Ἱεράρχα, δι' ἧς αἱρετιζόντων, ἐκτρέπομεν τὰς φάλαγγας.

**Στίχος.** *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Κόσμου ἀποῤῥαγείς, Θεῷ ἡνώθης μάκαρ· δι' ὃ δοχεῖον ὤφθης, ἄξιον Ἱεράρχα, τοῦ Παναγίου Πνεύματος.

**Στίχος.** *Στόμα δικαίου μελετήσει σοφίαν καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.*

Αἴγυπτον τῶν παθῶν, κατέλιπες καὶ ὕψος, πρὸς ἀπαθείας ἤρθης, ἔνθα Θεῷ ὡμίλεις, ὡς καθαρὸς Γρηγόριε.

***Δόξα. Καὶ νῦν.***

*Θεοτοκίον. Ὅμοιον.*

Ὕμνησε τρανῶς, τὴν τοῦ φωτὸς Μητέρα, Γρηγόριος ὁ μέγας· δι' οὗ σε δυσωποῦμεν, κινδύνων ἡμᾶς λύτρωσαι.

## Ἀπολυτίκιον.

*Ἦχος πλ. δ΄.*

Ὀρθοδοξίας ὁ φωστήρ, Ἐκκλησίας τὸ στήριγμα καὶ διδάσκαλε, τῶν μοναστῶν ἡ καλλονή, τῶν Θεολόγων ὑπέρμαχος ἀπροσμάχητος, Γρηγόριε θαυματουργέ, Θεσσαλονίκης τὸ καύχημα, κήρυξ τῆς χάριτος, ἱκέτευε διὰ παντός, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Θεοτοκίον.*

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας, ἀγαθέ· ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεός, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου, ἐλεῆμον, δέξαι τὴν τεκοῦσαν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον, Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

## Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ.

### Ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια δευτεροῦντες τὸ πρῶτον.

*Ἦχος β΄. Ποίοις εὐφημιῶν.*

Ποίοις εὐφημιῶν ᾄσμασιν, ἀνυμνήσωμεν τὸν Ἱεράρχην; τῆς θεολογίας τὴν σάλπιγγα, τὸ πυρίπνουν στόμα τῆς χάριτος, τὸ σεπτὸν τοῦ Πνεύματος δοχεῖον, τὸν στύλον, τῆς Ἐκκλησίας τὸν ἀκράδαντον, τὸ μέγα, τῆς οἰκουμένης ἀγαλλίαμα, τὸν ποταμὸν τῆς σοφίας, τοῦ φωτὸς τὸν λύχνον, τὸν ἀστέρα τὸν φαεινόν, τὸν τὴν κτίσιν καταλαμπρύνοντα. *(Δίς).*

Ποίοις ὑμνῳδιῶν ἄνθεσιν, στεφανώσωμεν τὸν Ἱεράρχην; τὸν τῆς εὐσεβείας ὑπέρμαχον, καὶ τῆς ἀσεβείας ἀντίπαλον, τὸν θερμὸν τῆς πίστεως προστάτην, τὸν μέγαν, καθηγεμόνα καὶ διδάσκαλον, τὴν λύραν, τὴν παναρμόνιον τοῦ Πνεύματος, τὴν χρυσαυγίζουσαν γλῶσσαν, τὴν πηγὴν τὴν βρύουσαν, ἰαμάτων νάματα πιστοῖς, τὸν μέγαν καὶ ἀξιάγαστον Γρηγόριον.

Ποίοις οἱ γηγενεῖς χείλεσιν, εὐφημήσωμεν τὸν Ἱεράρχην; τὸν τῆς Ἐκκλησίας διδάσκαλον, τοῦ φωτὸς τοῦ θείου τὸν κήρυκα, τὸν οὐρανομύστην τῆς Τριάδος, τὸ μέγα, τῶν μοναζόντων ἐγκαλλώπισμα, τὸν πράξει, καὶ θεωρίᾳ διαλάμποντα, Θεσσαλονίκης τὸ κλέος, συμπολίτην ἔχοντα, μυροβλύτην ἐν οὐρανοῖς, τὸν θεῖον καὶ ὑπερθαύμαστον Δημήτριον.

### Καὶ εἶτα Ἕτερα Προσόμοια πάλιν δευτεροῦντες τὸ πρῶτον.

*Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.*

Τὴν λαμπάδα τὴν ἄσβεστον, τὸν πυρσὸν τὸν ἀκοίμητον, ἐν θαλάσσῃ πλέουσι τὸν σωτήριον, καὶ γαληνὸν καὶ ἀκύμαντον, λιμένα τῆς Χάριτος, συνελθόντες ἐν ᾠδαῖς, ἐπαξίως ὑμνοῦμέν σε, ἱκετεύοντες, νοητοῦ κλυδωνίου ἐκλυτροῦσθαι, σαῖς εὐχαῖς τὴν Ἐκκλησίαν, ἧς ἀνδρικῶς προηγώνισαι. *(Δίς)*

Τὴν φωνὴν τὴν τοῦ Λόγου σε, τὴν πνοὴν τὴν τοῦ Πνεύματος, τὴν πυρίνην γλῶττάν τε τὴν ἀκάματον, Θεολογίας, Γρηγόριε, τὴν ὕλην τὴν βέβηλον, τῶν αἱρέσεων λαμπρῶς, ἐκτεφρώσασαν χάριτι· ἱκετεύομεν, ἐναντίων δογμάτων ἐπηρείας, λυτρωθῆναι ταῖς εὐχαῖς σου, τοὺς εὐσεβῶς ἀνυμνοῦντάς σε.

Ἐν ἀσκήσει τὸ πρότερον, ἡσυχίᾳ τε λάμψαντα, καὶ Γραφῶν τὸ δύσληπτον καὶ βαθύτατον, μετὰ τοῦ Πνεύματος βλέψαντα, Χριστὸς τῇ λυχνίᾳ σε, ἐπιτίθησι λαμπρῶς, Ἐκκλησίας, Γρηγόριε, κόσμον ἅπαντα, καταστράπτοντα, Πάτερ, τοῖς σοῖς λόγοις, καὶ θαυμάτων τῇ δυνάμει, τοὺς ἀστηρίκτους στηρίζοντα.

### *Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον συγκαλεῖται ἡμᾶς τοῦ Ἱεράρχου ἡ πανένδοξος πανήγυρις· δεῦτε οὖν φιλέορτοι, συμφώνως ὑμνήσωμεν τὴν μνήμην αὐτοῦ λέγοντες· χαίροις ὁ τὴν εἰκόνα τοῦ ἀρχεγόνου, ἀπαλείψας τοῖς ἐμπόνοις σου δάκρυσι, τὴν δὲ μορφὴν τὴν τοῦ Πνεύματος σεαυτῷ περιθέμενος. Χαίροις ὁ τὴν ὁλκάδα κυβερνήσας τῆς Ἐκκλησίας, τῇ σοφίᾳ τῇ δοθείσῃ σοι παρὰ τοῦ μόνου Θεοῦ. Χαίροις ὁ ἐν Ἀσίᾳ τοῖς λαοῖς, ἀθλητικῶς Θεὸν ἀνακηρύξας τὸν Χριστόν· ὃν καθικέτευε, ἑῴας ἐγκαλλώπισμα Γρηγόριε, λυτρωθῆναι ἡμᾶς, αἰσθητῶν καὶ ἀοράτων ἐχθρῶν, τοὺς τελοῦντάς σου τὴν μνήμην πιστῶς.

### *Καὶ νῦν. Θεοτοκίον. Δογματικόν.*

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς· φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος· αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

### Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

### Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης

πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας. Στόμα σοφῶν μελετᾷ σοφίαν· δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας· δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρῆται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει· καὶ ὁ ἀγρυπνήσας δι᾽ αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ· Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσιν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει· δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν· ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων· σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων· καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παιδῶν σου· ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τί εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Ἐγκωμιαζομένου δικαίου, εὐφρανθήσονται λαοί· ἀθανασία γὰρ ἐστιν ἡ μνήμη αὐτοῦ, ὅτι καὶ παρὰ Θεοῦ γινώσκεται, καὶ παρὰ ἀνθρώποις, καὶ ἀρεστὴ Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Ἐπιθυμήσατε τοιγαροῦν, ὦ ἄνδρες, σοφίαν, καὶ ποθήσατε, καὶ παιδευθήσεσθε. Ἀρχὴ γὰρ αὐτῆς ἀγάπη, καὶ τήρησις νόμων. Τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. Ἀπαγγελῶ ὑμῖν, καὶ οὐ κρύψω ἀφ᾽ ὑμῶν μυστήρια Θεοῦ. Ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστι, καὶ τῶν σοφῶν διορθωτής· καὶ ἐν τῇ χειρὶ αὐτοῦ πᾶσα φρόνησις, καὶ ἐργασιῶν ἐπιστήμη. Ἡ πάντων τεχνῖτις ἐδίδαξέ με σοφία· ἔστι γὰρ ἐν αὐτῇ πνεῦμα νοερόν, ἅγιον, ἀπαύγασμα φωτὸς ἀϊδίου, καὶ εἰκὼν τῆς ἀγαθότητος τοῦ Θεοῦ. Αὕτη φίλους Θεοῦ καὶ Προφήτας κατασκευάζει. Εὐπρεπεστέρα δέ ἐστιν ἡλίου, καὶ ὑπὲρ πᾶσαν ἀστέρων θέσιν· φωτὶ συγκρινομένη, εὑρίσκεται προτέρα. Αὕτη τοὺς θεραπεύσαντας αὐτὴν ἐκ πόνων ἐῤῥύσατο, καὶ ὡδήγησεν ἐν τρίβοις εὐθείαις. Ἔδωκεν αὐτοῖς γνῶσιν ἁγίαν, καὶ διεφύλαξεν αὐτοὺς ἀπὸ ἐνεδρευόντων, καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτοῖς, ἵνα γνῶσι πάντες, ὅτι δυνατωτέρα παντός ἐστιν ἡ εὐσέβεια, καὶ οὐ μὴ κατισχύσῃ ποτὲ κακία σοφίας, οὐδ᾽ οὐ μὴ παρελεύσεται πονηροὺς ἐλέγχουσα ἡ δίκη. Εἶπον γὰρ ἐν ἑαυτοῖς, λογισάμενοι οὐκ ὀρθῶς. Καταδυναστεύσωμεν τὸν δίκαιον, μὴ φεισώμεθα τῆς ὁσιότητος αὐτοῦ, μηδὲ ἐντραπῶμεν πολιὰς πρεσβύτου πολυχρονίους· ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς νόμος. Καὶ ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν. Ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεοῦ, καὶ παῖδα Κυρίου ἑαυτὸν ὀνομάζει. Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν. Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος· ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ. Εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν, ὡς ἀπὸ ἀκαθαρσιῶν, καὶ μακαρίζει ἔσχατα δικαίων. Ἴδωμεν οὖν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. Ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτόν, ἵνα γνῶμεν τὴν ἐπιείκιαν αὐτοῦ, καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ. Θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν· ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ. Ταῦτα ἐλογίσαντο, καὶ ἐπλανήθησαν· ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν. Καὶ οὐκ ἔγνωσαν μυστήρια Θεοῦ, οὐδὲ ἔκριναν, ὅτι σὺ εἶ Θεὸς μόνος, ὁ ζωῆς ἔχων καὶ θανάτου ἐξουσίαν, καὶ σώζων ἐν καιρῷ θλίψεως καὶ ῥυόμενος ἐκ παντὸς κακοῦ· ὁ οἰκτίρμων καὶ ἐλεήμων, καὶ διδοὺς τοῖς ὁσίοις σου χάριν, καὶ τῷ σῷ βραχίονι τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος.

## Εἰς τὴν Λιτήν.

### Ἰδιόμελον τῆς Μονῆς.

*Ἦχος α΄.*

Τῷ ἕκτῳ μηνί, ὁ Ἀρχιστράτηγος ἀπεστάλη, πρὸς σὲ τὴν Παρθένον καὶ Ἁγνήν, μηνύσαι σοι τὸν λόγον τῆς σωτηρίας, ἅμα δὲ καὶ καλέσαι σε· χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· τέξει Υἱὸν τὸν πρὸ αἰώνων ἐκ Πατρός· καὶ σώσει τὸν λαὸν αὐτοῦ, ἐκ τῶν πταισμάτων αὐτῶν.

### Τοῦ Ἱεράρχου.

*Ὁ αὐτός.*

Εὐφραίνου ἐν Κυρίῳ, πόλις Θεσσαλονίκη, ἀπόθου κατήφειαν πᾶσαν[1], Γρηγόριον τὸν θεόφρονα, ὁδηγὸν καὶ κήρυκα τῆς ἀληθείας, ἐν δόξῃ προκείμενον ὁρῶσα· ἀπόλαυε τῶν θαυμάτων, τὴν σορὸν αὐτοῦ κυκλοῦσα, καὶ τέρπου καταισχύνοντος τοὺς τῆς Δύσεως γόνους, καὶ εὐχαρίστως τῷ Σωτῆρι ἀνάκραζε, Κύριε δόξα σοι.

*Ὁ αὐτός.*

Τῇ τῶν ᾀσμάτων τερπνότητι, τὴν παροῦσαν φαιδρύνωμεν ἡμέραν, καὶ κροτήσωμεν τὰ τοῦ μάκαρος κατορθώματα· πρόκειται γὰρ ἡμῖν, εἰς εὐφημίαν ὁ μέγας Γρηγόριος, τὸ θεῖον τῶν Ὀρθοδόξων ἐγκαλλώπισμα· καὶ γὰρ τὴν ψυχωλέτειραν ἀχλύν, τοῦ βίου ἀνδρικῶς ἐκφυγών, δι᾽ ἀσκήσεως συντόνου τὴν ψυχὴν καθηράμενος, δοχεῖον ἑαυτὸν ἀπειργάσατο, τοῦ ἀνεσπέρου φωτός, καὶ φῶς ἐχρημάτισε δεύτερον. Διὸ καὶ εἰς λυχνίαν τιθεὶς τὴν τοῦ Πνεύματος, τὴν τῶν αἱρέσεων ἀχλὺν ἀπεδίωξε, καὶ τὴν ὑφήλιον κατηύγασεν ἅπασαν· καὶ νῦν τὸν Σωτῆρα δυσωπεῖ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἦχος β΄.*

Εἴληφας Ἱεράρχα, τὴν ἀνωτάτω φιλοσοφίαν, καὶ ἔξω κόσμου ἐγένου, ζῶν ὑπὲρ τὰ ὁρώμενα· καὶ ἔσοπτρον ἀκηλίδωτον Θεοῦ, θεῖον ἀνεδείχθης, καὶ ὢν ᾀεὶ ἡνωμένος φωτί, φῶς προσελάμβανες· καὶ τρανώτερον τοῦ μακαρίου ἔτυχες τέλους, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν, Ἱερὲ Γρηγόριε.

---

[1] Ἐγράφετο: *«πᾶσαν τὴν τῆς δουλείας...»*.

### *Ἦχος γ΄.*

Χριστὸν εἰσοικισάμενος ἐν τῇ ψυχῇ σου, διὰ τῆς καθαρᾶς πολιτείας, τὴν πηγὴν τῆς ζωῆς, ἱεροφάντα Γρηγόριε, ποταμοὺς ἀνέβλυσας, δογμάτων εὐσεβῶν τῇ οἰκουμένῃ, ἐξ ὧν ποτιζόμενος ὁ πιστὸς τῆς Ἐκκλησίας λαός, καρπὸν χειλέων, ὁμολογούντων τὴν χάριν προσφέρει, τῷ δοξάσαντι τὴν μνήμην σου εἰς αἰῶνα αἰῶνος.

### *Ἦχος δ΄.*

Γέγονας, Γρηγορίε, θεόπνευστον ὄργανον, δι᾽ οὗ ἡμῖν τὸ Πνεῦμα τὸ Ἅγιον ἐλάλησε· τῇ εὐσήμῳ γὰρ βοῇ, διέδραμε τὴν σύμπασαν, ὁ φθόγγος τῆς διδασκαλίας σου, καὶ μιμητὴς γενόμενος, τῶν Ἀποστόλων, Ὅσιε, τὸν χῶρον κατέλαβες ἐκεῖνον, ὃν ἐπόθησας. Πρέσβευε τῷ Κυρίῳ, παμμακάριστε, εἰρηνεῦσαι τὸν κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

### *Ὁ αὐτός.*

Λόγῳ Θεοῦ ἀνοίξας τὸ στόμα σου, τὸ τῆς σοφίας εἵλκυσας Πνεῦμα, καὶ πλήρης χάριτος γενόμενος, τὰ θεῖα ἐβρόντησας δόγματα, τρισμάκαρ Γρηγόριε· καὶ ταῖς ἀγγελικαῖς συμμυηθεὶς δυνάμεσι, τὸ τρισσὸν ἐκήρυξας φάος καὶ ἀμέριστον. Διὸ ταῖς σαῖς ἐλλαμφθέντες θεηγορίαις, Τριάδα προσκυνοῦμεν, ἐν μιᾷ Θεότητι γνωριζομένην, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

### *Δόξα. Ἦχος πλ. β΄.*

Ὅσιε Πάτερ, ἐκ βρέφους τὴν ἀρετήν, ἐπιμελῶς ἀσκήσας, ὄργανον γέγονας τοῦ Ἁγίου Πνεύματος· καὶ παρ᾽ αὐτοῦ λαβὼν τῶν θαυμάτων τὴν ἐνέργειαν, ἔπεισας τοὺς ἀνθρώπους καταφρονεῖν τῶν ἡδέων. Νῦν δὲ τῷ θείῳ φωτὶ καθαρώτερον ἐλλαμπόμενος, φώτισον καὶ ἡμῶν τὰς διανοίας, Ἱεράρχα Γρηγόριε.

### *Καὶ νῦν. Θεοτοκίον.*

Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων ὑπάρχουσα, Θεοτόκε Παρθένε, σῷζε ποίμνην καὶ λαόν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῶν πιστῶν.

## Εἰς τὸν Στίχον.

### Ψάλλομεν τὰ παρόντα Στιχηρὰ Προσόμοια τοῦ Ἱεράρχου.

*Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις τῆς εὐσεβείας φωστήρ, τῆς Ἐκκλησίας ὁ λαμπρός, Πάτερ, ἥλιος, τὸ κλέος τῶν μοναζόντων, τῆς ἡσυχίας κανών, ὁ τῆς θεωρίας καὶ τῆς πράξεως, διδάσκαλος ἄριστος, Ἱεράρχα Γρηγόριε, τὸ τῆς σοφίας, καὶ τῆς γνώσεως τέμενος, λόγων σκήνωμα, τῶν ἐντὸς καὶ τῶν θύραθεν. Ὄργανον τὸ τοῦ Πνεύματος, ψαλτήριον ἔμψυχον, στόμα Κυρίου ἐξάγον, ἐξ ἀναξίου τὸν ἄξιον. Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος.

**Στίχος.** *Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Χαίροις ὁ ὑψηλότατος νοῦς, ὁ θεωρὸς τῶν μυστηρίων τοῦ Πνεύματος, τὸ σκεῦος τῶν χαρισμάτων, ἡ φωτοφόρος λαμπάς, ἀστραπῆς τῆς θείας καὶ ἐλλάμψεως. Ἀγάπης τὸ κράτιστον, καὶ σεπτὸν ἐνδιαίτημα, ὁ πρᾶος ὄντως καὶ ἁπλοῦς τε καὶ ἄκακος, ἡ ἀνάπτυξις τῶν Γραφῶν καὶ σαφήνεια, θάλασσα νοημάτων τε, τῶν θείων, Γρηγόριε, πέλαγος ἔνθεον λόγου, διδασκαλίας ἀκένωτον· Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μέγα ἔλεος.

**Στίχος.** *Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.*

Χαίροις θεολογίας βυθός, ὀρθοδοξίας ὁ κανὼν ὁ εὐθύτατος, Τριάδος τὴν μίαν φύσιν, ὁ καταγγείλας τρανῶς, ἐν μιᾷ θελήσει ἐνεργείᾳ τε, ἁπλῆν τὴν Θεότητα, παντοδύναμον, ἄκτιστον, ὁ καταισχύνας, τοὺς τὴν χάριν τοῦ Πνεύματος, καὶ τὴν ἄχρονον, ἀθετήσαντας θέωσιν, στόμα τῶν θεολόγων, Ἱεράρχα Γρηγόριε, δόξα Πατέρων ἐνθέων, καὶ κοινωνέ τε καὶ σύμψηφε, φωστὴρ Ἐκκλησίας, ὁ δωρούμενος εὐχαῖς σου, τὸ μέγα ἔλεος.

### *Δόξα. Ἦχος πλ. δ΄.*

Ἡ γρήγορος γλῶσσά σου πρὸς διδασκαλίαν, ἐν τοῖς ὠσὶ τῶν καρδιῶν ἐνηχοῦσα, τὰς τῶν ῥαθύμων ψυχὰς διανίστησι, καὶ θεοφθόγγοις λόγοις σου, κλίμαξ εὑρίσκεται, τοὺς ἐκ γῆς πρὸς Θεὸν ἀναφέρουσα· διὸ Γρηγόριε, Θετταλίας τὸ θαῦμα, μὴ παύσῃ πρεσβεύων Χριστῷ, φωτισθῆναι τῷ θείῳ φωτὶ τοὺς τιμῶντάς σε.

*(βλ. Δοξαστάριον Πέτρου τ.Β΄ σελ.81 & Μουσ. Κυψ. σελ. τ.Β΄ 50).*

*Καὶ νῦν. Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν ἱκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἀπολυτίκιον.** *Ἦχος πλ. δ΄.*

Ὀρθοδοξίας ὁ φωστήρ, Ἐκκλησίας τὸ στήριγμα καὶ διδάσκαλε, τῶν μοναστῶν ἡ καλλονή, τῶν Θεολόγων ὑπέρμαχος ἀπροσμάχητος, Γρηγόριε θαυματουργέ, Θεσσαλονίκης τὸ καύχημα, κήρυξ τῆς χάριτος, ἱκέτευε διὰ παντός, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Θεοτοκίον.*

Ὁ δι᾽ ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας, ἀγαθέ· ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεός, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου, ἐλεῆμον, δέξαι τὴν τεκοῦσαν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον, Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

**Εἰς τὸν Ὄρθρον.**

**Μετὰ τὴν α΄ Στιχολογίαν.**
**Καθίσματα τοῦ Ἱεράρχου.**
*Ἦχος α΄. Τὸν τάφον σου Σωτὴρ.*

Τὸν θεῖον τοῦ Χριστοῦ, Ἱεράρχην ὑμνοῦμεν, τὸν στῦλον τοῦ πυρός, τοῦ φωτὸς τὴν νεφέλην, ἐν Πνεύματι προάγοντα, Ἰσραὴλ νέον σήμερον, καὶ εἰσάγοντα, εἰς νοητὴν γῆν εἰρήνης, τὴν μητρόπολιν, τῶν ἐν Χριστῷ πρωτοτόκων, τὸν μέγαν Γρηγόριον.

*Δόξα. Ὅμοιον.*

Λουσάμενος καλῶς, σῶν δακρύων τοῖς ῥείθροις, τὸ Πνεῦμα νοητῶς, ὑπεδέξω τὸ θεῖον, καὶ Χάριτος, θεσπέσιε, κοινωνὸς ἐχρημάτισας, καὶ θεώσεως, τῆς ὑπὲρ φύσιν καὶ λόγον, ἣν ἐκήρυξας, ἄκτιστον πᾶσι καὶ μίαν, θεόφρον Γρηγόριε.

*Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.*

Φωτὸς νοητοῦ, τὸ λαμπρότατον σκεῦος, τὸ σκότος τῆς ἐμῆς, λῦσον, Κόρη, καρδίας, παθῶν τε τὸ βαρύτατον, ἄχθος, δέομαι, κούφισον, ὁδηγοῦσά με, πρὸς μετανοίας τὰς τρίβους, καὶ τοῦ μέλλοντος, καταξιοῦσα φωτός με, πανάμωμε Δέσποινα.

## Μετὰ τὴν β′ Στιχολογίαν.
## Καθίσματα τοῦ Ἀποστόλου.
*Ἦχος πλ.δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Τῆς ψυχῆς σου καθάρας τὸ ὀπτικόν, εἰς τὸν γνόφον χωρήσας τὸν μυστικόν· τὰ κάλλη κατώπτευσας, τῆς ἀῤῥήτου θεώσεως, καὶ θεὸς ἐγένου, σοφὲ κατὰ μέθεξιν, χαρισμάτων θείων, ταμεῖον γενόμενος· ὅθεν καὶ τὰ πόῤῥω, ὡς παρόντα ἑώρας, καὶ δένδρα τὰ ἄκαρπα, σὺ ἐποίησας κάρπιμα, καὶ στειρώσεις διέλυσας, Γρηγόριε Πατὴρ ἡμῶν, τῶν τῆς Ἄγαρ κούφισον κακώσεων, τοὺς ἑορτάζοντας πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Δόξα. Ὅμοιον.*

Τὴν σοφίαν τὴν θείαν πεπλουτηκώς, ὡς φωτὸς ἐνδιαίτημα παμφαές, τῷ λόγῳ τῆς χάριτος, ἐν Συνόδῳ ἐξέλαμψας, καὶ βασιλεῦσιν ὤφθης, καὶ πᾶσιν αἰδέσιμος, αἱρετικῶν αἰσχύνας, τὸ ἄθεον φρύαγμα· ὅθεν καὶ φωστῆρα τῆς αὐτοῦ Ἐκκλησίας, Χριστός σε ἀνέδειξε, καὶ ποιμένα σοφώτατον, Ἱεράρχα Γρηγόριε. Πρέσβευε Αὐτῷ ἐκτενῶς, τῶν πταισμάτων, ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.*

Τὸν Σωτῆρα τῶν ὅλων καὶ Ποιητήν, ὃν ἐκύησας Κόρη ὑπερφυῶς, ῥυόμενον ἅπαντας, χαλεπῆς ἐκ χειρώσεως, ὡς Μήτηρ ἐκδυσώπει, μανίας τοῦ ὄφεως, καὶ κοσμικῶν σκανδάλων, ῥυσθεῖναι καὶ θλίψεων, μόνη Θεοτόκε, τοὺς πρὸς σὲ ἀφορῶντας, καὶ πίστει ζητοῦντάς σου, τὴν ὀξεῖαν βοήθειαν, τὴν ἡμᾶς ἀεὶ σώζουσαν, πρεσβεύουσα Παρθένε ἀεί, καὶ μελλούσης δόξης καὶ λαμπρότητος, τῆς χαρᾶς τοῦ Υἱοῦ σου, τυχεῖν τοὺς ὑμνοῦντάς σε.

## Μετὰ τὸν Πολυέλαιον.
## Κάθισμα τοῦ Ἱεράρχου.
*Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Ἀποστὰς τῶν ῥεόντων, Πάτερ σοφέ, Βασιλείων καὶ φίλων καὶ συγγενῶν, ἐκτήσω τὰ μένοντα, καὶ ἑστῶτα, μακάριε, καὶ οἰκίαν πᾶσαν, καὶ γένος προσήγαγες, τῷ Δεσπότῃ πάντων, σεπτὸν ὁλοκάρπωμα. Ὧν καὶ καθηγήσω, τὴν ψυχὴν ἁγιάσας, καὶ νοῦν σὺν τῷ σώματι, τῷ Κυρίῳ, Γρηγόριε, θεωρίᾳ καὶ πράξει τε· πρέσβευε αὐτῷ ἐκτενῶς, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Δόξα.* Τὸ αὐτό.

**Καὶ νῦν.** ***Θεοτοκίον. Ὅμοιον.***

Ἐκ σαρκός σου φορέσας ὡς ἀγαθός, τὴν μορφὴν ὁ Δεσπότης τὴν δουλικήν, ἐθέωσε, Δέσποινα, ἑνωθεὶς καθ᾽ ὑπόστασιν, καὶ τὴν φύσιν πᾶσαν, πληρώσας τοῦ Πνεύματος, τῶν ἁγίων δήμους, εἰργάσατο χάριτι· ὅθεν τὴν αἰτίαν, τῶν ἀῤῥήτων πραγμάτων, καὶ πρώτην τοῦ Πνεύματος, πληρωθεῖσαν ὑμνοῦντές σε, ἐκ καρδίας βοῶμέν σοι· χαῖρε σωτηρίας ἀρχηγέ, τῶν πταισμάτων χαῖρε ἡ λύτρωσις, τῶν προσκυνούντων ἐν πίστει τὸν Τόκον σου Ἄχραντε.

**Οἱ Ἀναβαθμοί.**
**Τὸ Α′ Ἀντίφωνον τοῦ δ′ ἤχου.**

**Προκείμενον.**

Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

**Στίχ.** *Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.*

**Πᾶσα πνοή. Τὸ Εὐαγγέλιον, κατὰ Ἰωάννην.**
Εἶπεν ὁ Κύριος ἐγώ εἰμι ἡ θύρα. ***(βλ. ιγ′ Νοεμβρίου)***

**Ὁ Ν′. ψαλμός.**

***Δόξα.*** *Ταῖς τοῦ Ἱεράρχου.*

***Καὶ νῦν.*** *Ταῖς τῆς Θεοτόκου.*

**Στίχ.** *Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθοςτῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.*

**Ἰδιόμελον.**
*Ἦχος πλ. β′.*

Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου, Ὅσιε Πάτερ, καὶ γέγονας ποιμὴν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, διδάσκων τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ Θεότητι.

**Οἱ Κανόνες,**
**ὁ τῆς Θεοτόκου εἰς ς′, καὶ τοῦ Ἱεράρχου οἱ κάτωθι δύω, ἀνὰ δ′.**

**Ὁ Κανὼν τῆς Θεοτόκου.**
**Ὠδὴ α΄.** *Ἦχος πλ.δ΄.*
**Ὁ Εἱρμός.**

*Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσα ποτέ, Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν· Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα. (Δίς).*

Χαῖρε κατάρας παλαιᾶς ἡ λύτρωσις, καὶ εὐλογίας πηγή· χαῖρε ζωῆς Μήτηρ, Ἅδου ἡ καθαίρεσις, θανάτου ἡ ἀναίρεσις, χαῖρε λύσις τῆς λύπης, χαρᾶς χωρίον εὐρύχωρον. Χαῖρε Θεοτόκε Πανύμνητε.

Ῥάβδος ἐκ ῥίζης Ἰεσσαὶ βλαστήσασα, χαῖρε ἀμόλυντε· χαῖρε βλαστῷ ῥάβδου, τῆς Ἀαρωνίτιδος, διαγραφεῖσα πρότερον, μυστικῶς καὶ βαθέως, ὡς γὰρ ἐκείνη τά κάρυα, οὕτω τὸν Χριστὸν σὺ ἐξήνθησας.

Εὐλογημένος ὁ καρπὸς Πανάμωμε, ὁ τῆς κοιλίας σου, δι᾿ οὗ βροτοὶ πάντες, τῆς ἀρᾶς ἐλύθημεν· εὐλογημένη Πάναγνε, ἀνερμήνευτον θαῦμα, ἀκατανόητον ὅραμα, πάντων τῶν βροτῶν τὸ διάσωσμα.

Ὡς Θεοῦ Μήτηρ παῤῥησίαν ἔχουσα, πρὸς τὸν τεχθέντα ἐκ σοῦ, μονογενῆ Λόγον, τῷ Πατρὶ συνάναρχον, καὶ συμφυῆ τῷ Πνεύματι, δυσωποῦσα μὴ παύσῃ, κινδύνων σῶσαι Πανάμωμε, τοὺς σὲ Θεοτόκον δοξάζοντας.

**Ὁ Α΄ Κανὼν τοῦ Ἱεράρχου, οὗ ἡ ἀκροστιχίς·**
Τῶν θεολόγων συνῳδὸν ὑμνῶ τῶν μεγάλων.
**Ἐν δὲ τοῖς Θεοτοκίοις·** Φιλόθεος.
**Ὠδὴ α΄.**
*Ἦχος πλ.δ΄. Ἁρματηλάτην Φαραώ.*

Τῶν θεολόγων τῶν τριῶν τὸν σύμπνουν τε, καὶ συνῳδόν σε καὶ νῦν, ἀνευφημεῖν Πάτερ, ἐν ᾠδαῖς προθέμενος, τὴν τῆς Τριάδος ἔμπνευσιν δι᾿ ὑμῶν ἐξαιτοῦμαι, καὶ λόγον, ὃν συνεπνεύσατε, μάκαρ ἱεράρχα Γρηγόριε.

Ὡς θεολόγοι καὶ σοφοὶ καὶ ῥήτορες, καὶ συγγραφεῖς ἱεροί, τῶν ἱερῶν λόγων, καὶ δογμάτων ἄριστοι, τρεῖς θεοφόροι κήρυκες, τὸν κλεινὸν ὑμῶν μύστην, καὶ σνῳδὸν καὶ ὁμώνυμον, ὕμνων κοινωνὸν καὶ νῦν ἔχετε.

Νόμους φιλίας καὶ θεσμοὺς τοὺς ἄνωθεν, τετιμηκότες καλῶς, οἱ τρεῖς Θεοῦ λόγῳ, προσφυῶς ἡρμόσθητε, Χριστὸν ἐν μέσῳ φέροντες, ὡς

ἐκεῖνος προέφη· νῦν δὲ πλουτεῖτε καὶ τέταρτον, ὄντως συφυᾶ καὶ ὁμότροπον.

Θεολογίας τῆς σεπτῆς τὰς σάλπιγγας, τὰς τῆς Τριάδος φωνάς, τὰς ἱερὰς μούσας, ἱερῶς ὑμνήσωμεν· Βασίλειον Γρηγόριον, Ἰωάννην τὸν μέγαν, σὺν Γρηγορίῳ τῷ πνεύσαντι, χάριν σὺν αὐτοῖς τὴν τοῦ Πνεύματος.

*Θεοτοκίον.*

Φίλοι σοφίας γεγονότες ἔνθεοι, ἐνυποστάτου Θεοῦ, καὶ ἱερὸς οἶκος, τὸν ναὸν τὸν ἔμψυχον, ὃν ἑαυτῷ ἐδείματο, τὴν Παρθένον τοῖς λόγοις, ὡς Θεοτόκον ἐκήρυξαν, κόσμῳ τὰ τῆς χάριτος ὄργανα.

**Ὁ Β′ Κανὼν τοῦ Ἱεράρχου, οὗ ἡ ἀκροστιχίς·**
Στάθμην ἀνυμνῶ δογμάτων τῶν ἐνθέων.
**Ἐν δὲ τοῖς Θεοτοκίοις·** Φιλόθεος.
**Ὠδὴ α′.**
*Ἦχος α′. Σοῦ ἡ τροπαιοῦχος δεξιά.*

Σὺ τῶν χαρισμάτων τῇ πηγῇ, καὶ τῇ σοφίᾳ τοῦ Πνεύματος, ἔνδοξε, στόμα καὶ διάνοιαν, ὑποβαλών, χάριτος ὤφθης πέλαγος· οὗ σταγόνα, Πάτερ, κἀμοὶ παράσχου ὑμνοῦντί σε.

Τύπος καὶ κανὼν ὑπερφυής, μοναδικῆς πολιτείας σὺ γέγονας, στόμα θεολόγων τε, Ἱεραρχῶν καὶ διδασκάλων ἔνθεον· ὅθεν συνελθόντες, ὁμοῦ τὸν ὕμνον σοὶ πλέκουσιν.

*Δόξα.*

Θρόνῳ παρεστὼς τῷ τοῦ Θεοῦ, σὺν τοῖς Ἀγγέλοις, θεόπτα Γρηγόριε, αἴγλης ἀπολαύων τε, νῦν ἐμφανῶς τῆς ἀπροσίτου, πρέσβευε, σκότους ἁμαρτίας, ἡμᾶς λυθῆναι, δεόμεθα.

*Καὶ νῦν. Θεοτοκίον.*

Φῶς τὸ ἀνατεῖλαν ἐκ τῆς σῆς, Θεογεννῆτορ, νηδύος θεάσασθαι, ποθῶν ὁ Γρηγόριος, σὲ πρεσβευτὴν καὶ συνεργὸν προβάλλεται, καὶ τῆς ποθουμένης, ἐκ σοῦ τετύχηκε χάριτος.

**Καταβασία.**

*Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.*

## Ὠδὴ γ΄.
## Τῆς Θεοτόκου.
## Ὁ Εἱρμός.

*Ὁ στερεώσας κατ' ἀρχάς, τοὺς οὐρανοὺς ἐν συνέσει, καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας, ἐν τῇ πέτρᾳ με Χριστέ, τῶν ἐντολῶν σου στήριξον, ὅτι οὐκ ἔστι πλήν σου, ἅγιος μόνε φιλάνθρωπε. (Δίς).*

Ἀπειρογάμως ἐκ Πατρός, τῶν πρὸ αἰώνων ἀφράστως, ἐν γαστρί σου συλλαβοῦσα Παρθένε, ἀπεγέννησας ἡμῖν, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, ἐν ἑκατέρᾳ φύσει, τέλειον οὐ διαιρούμενον.

Ῥάβδον βλαστήσασαν Χριστόν, τὸ ἄνθος τῆς ἀφθαρσίας, καὶ χρυσοῦν θυμιατήριον πάντες, σὲ γινώσκομεν Ἁγνή, θείας οὐσίας φέρουσαν, ἐν ταῖς ἀγκάλαις Κόρη, ἄνθρακα θεοχαρίτωτε.

Σωτηριώδους δι' ἡμᾶς, τοῦ Λόγου οἰκονομίας, φωτεινὴ σὺ Μητροπάρθενε πύλη, ἐγνωρίσθης ἀληθῶς· σὺ γὰρ ἡμῖν εἰσήγαγες, τὴν νοητὴν ἀκτῖνα, τῆς ὑπερθέου θεότητος.

Ἐπὶ τὴν ἄχραντον νηδύν, ὡς ὑετὸς ἐπὶ πόκον, σοῦ κατέβη ὁ Θεός μου Παρθένε, καὶ ἐδρόσισεν ἡμᾶς, τοὺς ἐκτακέντας καύσωνι, τῆς ἁμαρτίας δρόσῳ, φιλανθρωπίας καὶ χάριτος.

### Κανὼν Α΄ τοῦ Ἱεράρχου. *Ὁ στερεώσας κατ' ἀρχάς.*

Ἐπὶ τὴν πέτραν σε Χριστέ, θεολογίας τὸν πύργον, ἐδομήσαντο οἱ τρεῖς σου τεχνῖται, τῶν πνευμάτων προσβολαῖς, τῶν ἐναντίων ἄσειστον· ὅθεν τοὺς πολεμίους, ἑστὼς Γρηγόριος ἔτρεψεν.

Ὁ θεολόγος ὁ στεῤῥός, ὁ τῆς σοφίας πολίτης, ὡς βολίσιν ἀστραπῶν κεχρημένος, πετροβόλοις τε στεῤῥοῖς, τοῖς τῶν Πατέρων δόγμασιν, αἱρετικῶν γενναίως, συτρίβει λόγοις τὰς φάλαγγας.

Λόγῳ Θεοῦ τὸ νοητόν, ὡς διανοίξαντες στόμα, ἐφειλκύσαντο τὸ Πνεῦμα τὸ θεῖον, τῆς Τριάδος οἱ λαμπροί, τρεῖς θεοφόροι κήρυκες· οἷσπερ σοφὲ συμπνεύσας, πολυθεΐαν ἐλίκμησας.

Οἱ λογικοὶ νῦν οὐρανοί, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, οἱ τὴν δόξαν διηγούμενοι τούτου, θείας δόξης κοινωνούς, θεῖοι Πατέρες δείξατε, τοὺς τὴν ὑμῶν ἐνδόξως, μνήμην τελοῦντας τὴν ἔνδοξον.

### *Θεοτοκίον.*

Ἰδεῖν τὴν δόξαν σου τρανῶς, οἱ θεολόγοι Παρθένε, παρεσκεύασαν ἀνθρώπους τοῖς λόγοις, τὸ μυστήριον τοῦ σοῦ, Τόκου λαμπρῶς κηρύξαντες· ὃν ταῖς εὐχαῖς ἐκείνων, ἵλεων πᾶσιν ἀπέργασαι.

**Κανὼν Β′ τοῦ Ἱεράρχου.** *Ὁ μόνος εἰδώς.*

Μωρίαν, σοφέ, τὴν κοσμικήν, σοφίαν ἡγησάμενος, τὴν τοῦ Σταυροῦ μωρίαν ἠγάπησας, καὶ τοῦτον ἄρας ἐπ᾽ ὤμων ἔδειξας, ὡς ὁ Παῦλος ἔφησε, τὸ μωρίας πρόσχημα, τῆς τοῦ κόσμου σοφίας ὑπέρτερον.

Ἠγάπησας, Πάτερ, ἐκ ψυχῆς, πτωχείαν καὶ ταπείνωσιν, καὶ τὸ λιτὸν τοῦ βίου καὶ ἄσκευον· ἀνθρώπους φεύγων ὅθεν, ἐδίωκες, τὰς ἐρήμους πάντοτε, εἰς ὀσμὴν τῶν μύρων σου, Χριστῷ κράζων, δραμοῦμαι ὀπίσω σου.

*Δόξα.*

Νεκρώσας, σοφέ, τὸν παλαιόν, φθειρόμενόν τε ἄνθρωπον, δι᾽ ἐγκρατείας πάσης καὶ νήψεως, πηγαῖς δακρύων καινῶς λουσάμενος, διὰ βίου εἴληφας, τὸ ἀρχαῖον κάλλος σου ἐν Χριστῷ, τὸν καινὸν ἐνδυσάμενος.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἰδὼν ἣν ἐπόθησας αὐγήν, τοῦ Πνεύματος, Γρηγόριε, τῇ προστασίᾳ τῆς Θεομήτορος, τρανῶς τε ταύτῃ νῦν ἐλλαμπόμενος, ταύτην καθικέτευε, σκότους τῶν παθῶν ἡμᾶς ἀπαλλάξαι, φωτὶ τῷ τῆς χάριτος.

**Καταβασία.**

***Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.***

**Μετὰ τὴν αἴτησιν,**
**λέγομεν τὸ παρὸν Κάθισμα τοῦ Ἱεράρχου.**
*Ἦχος πλ. δ′. Τὴν Σοφίαν καὶ Λόγον.*

Ἐγκρατείᾳ καὶ νήψει καὶ προσευχῇ, παρθενίᾳ πτωχείᾳ καὶ τῷ καινῷ, λουτῆρι Γρηγόριε, τῶν δακρύων καθάρας σου, τὴν καρδίαν ὅλος μετάρσιος γέγονας, καὶ Χριστῷ συνήφθης, ἓν πνεῦμα γενόμενος· ὅθεν ὡς ὁ Παῦλος, τῶν ἀῤῥήτων ἀκούσας, καὶ σκεῦος γενόμενος, ἐκλογῆς σὺ ἐβάστασας, τοῦ Κυρίου τὸ ὄνομα, ἄκτιστον κηρύξας τρανῶς, καὶ ἁπλῆν καὶ μίαν Θεότητα, ᾗ πρεσβεύων μὴ παύσῃ, σωθῆναι

*Δόξα.* **Τὸ αὐτό.**

**Καὶ νῦν.** *Θεοτοκίον. Ὅμοιον.*

Ὁ τὸ πρὶν ἐκ μὴ ὄντων παραγαγών, τὰς τῶν ὄντων οὐσίας, Λόγε Θεοῦ, τιμήσας εἰκόνι τε, καὶ χειρί σου τὸν ἄνθρωπον, καὶ φθαρέντα τοῦτον, ἀπάτῃ τοῦ ὄφεως, ἀναπλάσας αὖθις, Σταυρῷ τῷ Τιμίῳ σου, πᾶσαν τε τὴν φύσιν, ἁγιάσας, οἰκτίρμον, τῷ θείῳ σου Πνεύματι, καὶ σαρκὸς τῷ προσλήμματι, τῆς Μητρός σου δεήσεσι· Δέσποτα Χριστὲ ὁ Θεός, τῶν πταισμάτων δώρησαι τὴν ἄφεσιν, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸ κράτος σου, Κύριε.

**ᾨδὴ δ΄.**

**Τῆς Θεοτόκου.**

**Ὁ Εἱρμός.**

*Σύ μου ἰσχύς, Κύριε, σύ μου καὶ δύναμις, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ Πατρικοὺς κόλπους μὴ λιπών, καὶ τὴν ἡμετέραν, πτωχείαν ἐπισκεψάμενος· διὸ σὺν τῷ Προφήτῃ, Ἀββακοὺμ σοι κραυγάζω, τῇ δυνάμει σου δόξα φιλάνθρωπε. (Δίς).*

Σὺ ἀληθής, τῆς σωτηρίας ὑπόθεσις, Θεομῆτορ, μόνη ἐχρημάτισας, τῷ Ποιητῇ καὶ Δημιουργῷ, ἐκ τῶν σῶν ἀχράντων, αἱμάτων σάρκα δανείσασα· δι᾽ ἧς αἱ τοῦ θανάτου, συνετρίβησαν πύλαι, καὶ ζωὴ τοῖς ἀνθρώποις δεδώρηται.

Θεὸν ἐκ σοῦ, τὸν σαρκωθέντα δυσώπησον, τὸν ἀτρέπτως, ὃ ἦν διαμείναντα, καὶ φυσικῶς, ἴσον τῷ Πατρί, καὶ σοὶ τῇ τεκούσῃ, γενόμενον ὁμοούσιον, συγχώρησιν πταισμάτων, καὶ ψυχῶν σωτηρίαν, τοῖς ὑμνοῦσί σε πίστει δωρήσασθαι.

Σὺ τῶν βροτῶν, δόξα καὶ κλέος καὶ καύχημα, καὶ Ἀγγέλων, στέφος καὶ διάδημα· διὸ ἡ γῆ καὶ ὁ οὐρανός, μίαν Ἐκκλησίαν, στησάμενοι παναρμόνιον, τὸ χαῖρέ σοι βοῶμεν· χαῖρε Δέσποινα κόσμου· χαῖρε πάντων ἀνθρώπων βοήθεια.

Νεοθαλής, ἀθανασίας Παράδεισος, καὶ ὡραῖος, ὄντως ἀναδέδειξαι, ξύλον ζωῆς, ἐν σοὶ φυτευθέν, θεαρχικωτάτως, κυοφοροῦσα καὶ τίκτουσα, τὸ πᾶσιν ἀποστάζον, ζωηφόρους ἐλπίδας, τοῖς πιστῶς Θεοτόκον φρονοῦσί σε.

**Κανὼν Α΄ τοῦ Ἱεράρχου.** *Σύ μου ἰσχύς, Κύριε.*

Γῆς μὲν ὑμεῖς, καὶ τῆς σαρκὸς ἀνεδύθητε, κατὰ φύσιν, ἄνθρωποι γενόμενοι, τὸ τοῦ Θεοῦ, Πνεῦμα δὲ τὸν χοῦν, ὑμῶν ἐκνικῆσαν, εἰς οὐρανοὺς ἀνεβίβασεν, ἔνθα φιλοσοφοῦντες, ἐτελεῖτε Πατέρες, λελυμένοι σαρκὸς καὶ πρὸ λύσεως.

Ὡς εὐγενής, ὅρπηξ θεόφρον Γρηγόριε, ἐκ τῆς ῥίζης, ὄντως ἀνεβλάστησας, τῆς εὐσεβείας καὶ νοητῶς, τὸν τῆς Ἐκκλησίας, παράδεισον κατεκόσμησας, καρποῖς θεολογίας καὶ λαμπρᾶς πολιτείας, καλλωπίζων καὶ τρέφων ἑκάστοτε.

Νέος ἡμῖν σὺ ἀνεφάνης Γρηγόριε, θεολόγος, βάσις τε τῆς πίστεως, ῥεῦμα καινὸν ὄντως καὶ χρυσοῦν, λόγοις τοῖς ἐνθέοις, τῆς Ἐκκλησίας τὰ λήια, ἀρδεύων καὶ πιαίνων, καὶ πολύχουν ἀνέλκων, εὐσεβείας καὶ γνώσεως ἄσταχυν.

Σάρκα Θεός, ὑπερβολῇ ἀγαθότητος, καὶ πτωχείᾳ, καὶ Θεὸν ἐργάζεται, καὶ τῇ Θεότητι τῇ αὐτοῦ, ὑπὲρ νοῦν πλουτίζει, τὴν ἀνθρωπίνην εὐτέλειαν, ἧς ὑμεῖς μετασχόντες, θαυμαστῶς θεοφόροι, τὸ μυστήριον πάντας διδάσκετε.

*Θεοτοκίον.*

Λόγον Θεοῦ, τρανῶς ἐν στόματι φέροντες, θείαν χάριν, πνέοντες τοῦ Πνεύματος, τὴν σωτηρίαν θεοπρεπῶς, τὴν τῶν ὁμοφύλων, αὐτῷ καλῶς συνεπνεύσατε, τὴν τοῦ Λόγου Μητέρα, καὶ τὴν σάρκωσιν τούτου, τοῦ κηρύγματος σχόντες ὑπόθεσιν.

**Κανὼν Β΄ τοῦ Ἱεράρχου.** *Ὅρος σὲ τῇ χάριτι.*

Νύκτα τὴν ἀσέληνον καὶ σκότος, Γρηγόριε, τὸ τῶν παθῶν τῆς προσευχῆς, ῥάβδῳ μαστίξας, ὡς Μωσῆς τὴν Αἴγυπτον, ἔδραμες, ὑπερφυῶς πρὸς θεωρίαν τὴν ἔνθεον, καὶ νομοθέτης ἡμῖν κεχρημάτικας.

Ὕψους ἐπιβὰς τοῦ θείου, Πάτερ Γρηγόριε,τῶν ἀρετῶν, ὡς ἐν Θαβὼρ Χριστοῦ οἱ φίλοι μαθηταί, ἐκεῖνον τεθέασαι, τὴν φυσικὴν καὶ θείαν δόξαν ἐκφαίνοντα, καὶ θεωθεὶς ἄλλος πέφηνας ἥλιος.

*Δόξα.*

Μύστης τῆς Θεότητος, θεόπτα Γρηγόριε, καὶ τῶν ἀῤῥήτων κοινωνός, σὺ γεγονὼς θεολογεῖς, αὐτῆς τὸ μυστήριον, μίαν αὐτὴν ἀνακηρύξας καὶ ἄκτιστον, δυνάμει φύσει τρισὶν ὑποστάσεσιν.

*Καὶ νῦν. Θεοτοκίον.*

Λόγον τὴν γεννήσασαν Θεοῦ τὸν ἀπόῤῥητον, λόγοις ὑμνήσας ἱεροῖς, καὶ τὸ μυστήριον τρανῶς, τῆς θείας σαρκώσεως, ἀνακηρύξας, ταύτην νῦν καθικέτευε, τὴν Ἐκκλησίαν φυλάττειν ἀκύμαντον.

**Καταβασία.**

*Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ προφήτης Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· δόξα τῇ δυνάμει σου Κύριε.*

## ᾨδὴ ε΄.
## Τῆς Θεοτόκου.
### Ὁ Εἱρμός.

*Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον; καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότος τὸν δείλαιον· ἀλλ᾽ ἐπιστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι.* *(Δίς).*

Ὡς χαρὰν συλλαβοῦσα, χαῖρε ὑπεράμωμε, χαῖρε ὑπέραγνε· χαῖρε τῆς ἁγνείας, πορφυρόχροον ἄνθος ἡδύπνοον· χαῖρε παρθενίας, κοκκοβαφὲς ἐρυθρὸν ῥόδον, καὶ Θεοῦ τὸ εὐῶδες ὀσφράδιον.

Ἀληθῆ Θεοτόκον, πάντες ἐπιγνόντες σε Πάναγνε Δέσποινα, τὸν ἐκ σοῦ τεχθέντα, Θεὸν Λόγον εἰδότες κηρύττομεν, ἐν δυσὶν οὐσίαις, θελητικαῖς αὐτεξουσίαις, ὑπὲρ λόγον καὶ νόμον τῆς φύσεως.

Στρατηγίαι τῶν ἄνω, Πάναγνε δυνάμεων σὲ μακαρίζουσι, γενεαὶ δὲ πᾶσαι, τῶν ἀνθρώπων ἀξίως δοξάζουσι· διὰ σοῦ γὰρ μόνης, οἱ ἐπὶ γῆς τοῖς οὐρανίοις, συναφθέντες ὑμνοῦμεν τὸν τόκον σου.

Φωτεινήν σε νεφέλην, φέρουσαν τὸν ἄδυτον ἥλιον Δέσποινα, οἱ βροτοὶ εἰδότες, ἀνυμνοῦμεν καὶ πόθῳ γεραίρομεν· τὴν γὰρ ἁμαρτίαν, τὴν ἐν Ἀδὰμ ἀμαυρωθεῖσαν, ἀνεμόρφωσας θείαις λαμπρότησι.

### Κανὼν Α΄ τοῦ Ἱεράρχου. *Ἱνατί με ἀπώσω.*

Ὑλικὴν ὑπερβάντες, ἅπασαν προσπάθειαν, οἱ τρεῖς μακάριοι, τῇ σεπτῇ Τριάδι, κατὰ χάριν ἀΰλως συνήφθητε, σπουδαστὴν δὲ τοῦτον, καὶ κοινωνὸν τέταρτον σχόντες, ὥσπερ κτίσιν τὴν πίστιν συνέχετε.

Νομικοὺς πάντας τύπους, καὶ σκιὰς καὶ σύμβολα διετρανώσατε, τῷ φωτὶ τοῦ Λόγου, πρὸς τὸ πνεῦμα καλῶς μεθελκύσαντες· οἷς καὶ νοῦν καὶ λόγον, ὁ θεηγόρος νοῦς συνάψας, ὁ Γρηγόριος, κόσμον ἐφώτισεν.

Ὡς καινὰς ὄντως πλάκας, Μωϋσῆς ὁ δεύτερος, Πατέρες ἔνθεοι, τὰ καινὰ πυκτία, καὶ τοὺς λόγους ὑμῶν ὑπεδέξατο, ἀναπτύσσων ταῦτα, καὶ Ἰσραὴλ ἄγων τὸν νεόν, πρὸς Θεὸν ὁ πυρίπνους Γρηγόριος.

Διαβάντες ὡς πάλαι, Μωϋσῆς τὴν Αἴγυπτον Πατέρες ἔνδοξοι, ἁμαρτίας σκότους, καὶ βυθοῦ δυσσεβείας ἐῤῥύσασθε, τῷ δὲ φίλῳ τούτῳ, τὴν τοῦ λαοῦ δημαγωγίαν, ὡς Μωσῆς Ἰησοῦ κατελίπετε.

#### Θεοτοκίον.

Ὃν ἐκήρυξας κόσμῳ, Τόκον ἀνερμήνευτον, Πάτερ Γρηγόριε, τοῦτον ἱκετεύων, σὺν τρισὶ διδασκάλοις ἑκάστοτε, μηδαμῶς ἐλλίπῃς· ὑπὲρ ἡμῶν τὴν Θεοτόκον, ὁδηγὸν καὶ προστάτιν γὰρ κέκτησαι.

### Κανὼν Β΄ τοῦ Ἱεράρχου. *Ὁ φωτίσας τῇ ἐλλάμψει.*

Νοῦς ὁ μέγας τῆς σοφίας βυθὸς ὁ ἀπόῤῥητος, εὑρηκώς σου, θεοφόρε, τὸν νοῦν καταγώγιον, ἑαυτῷ κατάλληλον, νοῦν καὶ σοφίας ὄργανόν σε, τῇ Ἐκκλησίᾳ δεδώρηται.

Ὡς φωστῆρα φαεινὸν πρὶν ὁ Ἄθως, Γρηγόριε, ἀνατείλας τῇ λαμπρᾷ σε τῶν πόλεων δίδωσι, τῷ φωτὶ τοῦ Πνεύματος, ταύτην ἐνθέως φρυκτωροῦντα, καὶ πατρικῶς προϊστάμενον.

*Δόξα.*

Οἱ ποθοῦντες τοὺς ἀγῶνας καὶ λόγου τὰς χάριτας, Γρηγορίου, καὶ τὸν ὕμνον αὐτῷ νῦν προσάγοντες, τοῦτον ἱκετεύσωμεν, εὐχαῖς τὸν Κτίστην καὶ Δεσπότην, ἵλεων πᾶσιν ἐργάσασθαι.

*Καὶ νῦν. **Θεοτοκίον.***

Ὁ φωτίσας γῆς τὸ πλάτος τοῦ ἡλίου λαμπρότητι, φῶς ἐφάνη τοῖς ἐν σκότει, Παρθένε, ἀνέσπερον· ὅνπερ καθικέτευε, σκότους δεινοῦ τῆς ἁμαρτίας, ἡμᾶς λυτρώσασθαι, Δέσποινα.

### Καταβασία.

***Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.***

## Ὠδὴ ϛ΄.

### Τῆς Θεοτόκου.

### Ὁ Εἱρμός.

***Ἱλάσθητί μοι Σωτήρ, πολλαὶ γὰρ αἱ ἀνομίαι μου· καὶ ἐκ βυθοῦ τῶν κακῶν, ἀνάγαγε δέομαι· πρὸς σὲ γὰρ ἐβόησα, καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου. (Δίς).***

Κυρίαν σε τοῦ παντός, καὶ Δέσποιναν ὀνομάζομεν· τὸν ὄντως ὄντα Θεόν, ἀῤῥήτως γὰρ τέτοκας, τὸν πάντα ποιήσαντα, καὶ διακρατοῦντα, καὶ συνέχοντα Πανάμωμε.

Θεὸν τεχθέντα ἐκ σοῦ, ἐπέγνωμεν Θεονύμφευτε, ὃν ἐξιλέωσαι νῦν, ὡς ἰσχύουσα, τοῖς πίστει κραυγάζουσι, δωρηθῆναι λύσιν, τῶν πταισμάτων Παναμώμητε.

Ἡ κλῆσίς σου ἀληθῶς, ψυχῶν ὑπάρχει καθάρσιον, καὶ ῥυπαρῶν λογισμῶν, ἐστὶν ἐλατήριον, καὶ φυγαδευτήριον, πονηρῶν πνευμάτων, Θεοτόκε ἀειπάρθενε.

Ἀσμάτων ᾆσμα σὺ εἶ, θεοχαρίτωτε Δέσποινα, Ἀγγέλων ἡ χαρμονή, βροτῶν ἡ ἀνάπλασις, Θεὸν γὰρ ἐγέννησας, σεσωματωμένον, τὸν τὰς φύσει μεταλλάττοντα.

### Κανὼν Α′ τοῦ Ἱεράρχου. *Ἱλάσθητί μοι Σωτήρ.*

Οἱ νοητοὶ ποταμοί, ὡς παραδείσου ἐκβλύσαντες, τῆς Ἐκκλησίας Χριστοῦ, τὸ πρόσωπον ἄρδουσι, καὶ καταπιαίνουσι, τὸ τῆς οἰκουμένης, τὰς αἱρέσεις κατακλύζοντες.

Νομὴν λοιμοῦ νοητοῦ, ἐστήσατε τῶν αἱρέσεων, ἰσχύϊ λόγου οἱ τρεῖς, καὶ Πνεύματος χάριτι· ἥνπερ ἀναζήσασαν, ἀναιρεῖ γενναίως, ὁ Γρηγόριος ἐν Πνεύματι.

Ὕπνον τοῖς σοῖς ὀφθαλμοῖς, καὶ τοῖς βλεφάροις Γρηγόριε, οὐκ ἔδωκας νυσταγμόν, Γραφὰς ἐξηγούμενος, τοῦ Πνεύματος χάριτι, θεολόγων λόγοις, τὰς αἱρέσεις ἐκτρεπόμενος.

Μεγίστην νῦν ἐν Χριστῷ, τὴν παῤῥησίαν εὑράμενος, σὺν διδασκάλοις τρισί, καὶ φίλοις ἱκέτευε, τοῦ σώζεσθαι ἄτρωτον, τὴν ἐκείνου ποίμνην, ὑπὲρ ἧς κεκοπιάκατε.

*Θεοτοκίον.*

Θεὸν τεκοῦσα σαρκί, θεοὺς βροτοὺς ἀπετέλεσας, μεθέξει τῇ θεϊκῇ, καὶ χάριτι Δέσποινα· οἱ τέτταρες φίλοι σου, βεβαιοῦσι τοῦτο, καὶ τοῖς λόγοις καὶ τοῖς πράγμασι.

### Κανὼν Β′ τοῦ Ἱεράρχου. *Σπλάγχνων Ἰωνᾶν.*

Γνώμων ἀρετῆς, ὁ ἔνθεος βίος σου, ὡράθη πιστοῖς, ὄντως, Γρηγόριε, εὐσεβείας δέ, στάθμη λόγος ὁ σός καὶ τὰ δόγματα, οἷς τὸ γνήσιον καὶ νόθον διακρίνεται, ἕνα τὸν Θεὸν κηρύττουσι, παντοδύναμον μόνον καὶ ἄκτιστον.

Μίαν εὐσεβῶς, κηρύξας Θεότητα, ὁ μέγας ἡμῖν ὤφθη Γρηγόριος, ὑποστάσεσιν, ἐν Τρισὶ μιᾷ φύσει δυνάμεσι, διὰ πάντων τὴν αὐτὴν ἁπλῆν καὶ ἄκτιστον, πάντας καταισχύνας ἄριστα, τοὺς ληροῦντας κτιστὴν τὴν Θεότητα.

*Δόξα.*

Τύπους παρασχών, δογμάτων, Γρηγόριε, καὶ λόγους λαμπρούς, οὕσπερ ἀνέπτυξας, τὴν διάνοιαν, τῶν σεπτῶν θεολόγων ἐν Πνεύματι, σαῖς εὐχαῖς ἀκαινοτόμητα συντήρησον, ταῦτα, τὴν Χριστοῦ λυτρούμενος, Ἐκκλησίαν ἐκ πάσης αἱρέσεως.

*Καὶ νῦν. Θεοτοκίον.*

Θρόνων, Χερουβείμ, Δυνάμεων, Δέσποινα, καὶ πάσης ὁμοῦ, τῆς ἄνω Τάξεως, ὑπερτέρα σύ, ἀνεδείχθης ὡς θρόνος ἀπόῤῥητος, χρηματίσασα Θεοῦ τῆς ὑποστάσεως, ὅνπερ ὡς Υἱόν σου ἵλεων, τοῖς πιστῶς σε ὑμνοῦσιν ἀπέργασαι.

**Καταβασία.**

*Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.*

**Κοντάκιον τοῦ Ἱεράρχου.**

*Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.*

Τὸ τῆς σοφίας ἱερὸν καὶ θεῖον ὄργανον, θεολογίας τὴν λαμπρὰν συμφώνως σάλπιγγα, ἀνυμνοῦμέν σε Γρηγόριε θεοῤῥῆμον. Ἀλλ᾽ ὡς νοῦς Νοῒ τῷ πρώτῳ παριστάμενος, πρὸς Αὐτὸν τὸν νοῦν ἡμῶν Πάτερ ὁδήγησον, ἵνα κράζωμεν· **Χαῖρε, Κῆρυξ τῆς χάριτος.**

**Ὁ Οἶκος.**

Ἄγγελος ἀνεφάνης, ἐπὶ γῆς τῶν ἀῤῥήτων, τὰ θεῖα τοῖς βροτοῖς ἐξαγγέλλων· ταῖς γὰρ τῶν Ἀσωμάτων φωναῖς, ἀνθρωπίνῳ νοΐ τε, καὶ σαρκὶ χρώμενος, ἐξέστησας ἡμᾶς, καὶ βοᾶν σοι θεοῤῥῆμον, ἔπεισας ταῦτα·

Χαῖρε, δι᾽ οὗ τὸ σκότος ἠλάθη·
χαῖρε, δι᾽οὗ τὸ φῶς ἀντεισῆλθε.

Χαῖρε, τῆς ἀκτίστου Θεότητος Ἄγγελε·
χαῖρε, τῆς κτιστῆς καὶ μωρᾶς ὄντως ἔλεγχε.

Χαῖρε, ὕψος ἀνεπίβατον τὴν Θεοῦ φύσιν τρανῶν·
χαῖρε, βάθος δυσθεώρητον τὴν ἐνέργειαν εἰπών.

Χαῖρε, ὅτι τὴν δόξαν τοῦ Θεοῦ καλῶς εἶπας·
χαῖρε, ὅτι τὰς δόξας τῶν κακούργων ἐξεῖπας.

Χαῖρε, φωστὴρ ὁ δείξας τὸν Ἥλιον·
χαῖρε, κρατὴρ τοῦ νέκταρος πάροχε.

Χαῖρε, δι᾽ οὗ ἡ ἀλήθεια λάμπει·
χαῖρε, δι᾽ οὗ ἐσκοτίσθη τὸ ψεῦδος.

**Χαῖρε, Κῆρυξ τῆς χάριτος.**

**Συναξάριον τοῦ ἡμέρας (ἤτοι τῆς ΙΔ΄ Νοεμβρίου)·**

Τῇ ΙΔ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Φιλίππου, ἑνὸς τῆς πρώτης χορείας τῶν Δώδεκα.

**Στίχοι.**

Ἀρθεὶς Φίλιππος ἐκ ποδῶν ἐπὶ ξύλου,
Τὰ τῶν ποδῶν σοι νίπτρα Σῶτερ ἐκτίει.
Ἤρθης κἀκκεφαλῆς δεκάτῃ Φίλιππε τετάρτῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ κοίμησις τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου, Ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ Παλαμᾶ, τοῦ θαυματουργοῦ, ὃς καὶ νέος Χρυσόστομος ἀπεκλήθη.

**Στίχοι.**

Φωτὸς λαμπρὸν κήρυκα νῦν ὄντως μέγαν.
Πηγὴ φάους ἄδυτον ἄγει πρὸς φέγγος.

Χριστῷ συνήφθης γρηγορῶν φερωνύμως.
Καὶ ζῇς μεταστάς, θαυματουργεῖς δ᾽ ἐν τάφῳ.

Τί ἄν σου, Γρηγόριε, τὶς ἐπαινέσει,
Τιμῆς Θεοῦ λαχόντα τῆς ἐκ θαυμάτων.

Γρηγόριος θάνεν ἀρχιθύτης τετάρτῃ δεκάτῃ τε.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Νεομάρτυς Κωνσταντῖνος, ὁ ἐξ Ὕδρας μὲν βλαστήσας, ἐν δὲ τῇ Ῥόδῳ μαρτυρήσας ἐν ἔτει ͵αω΄ (1800), ἀγχόνῃ τελειοῦται.

**Στίχοι.**

Ὕδρᾳ ἀνύδρῳ νῦν ῥέει ὕδωρ ξένον,
Τῶν αἱμάτων ἐκ σοροῦ τοῦ Κωνσταντίνου.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

**ᾨδὴ ζ΄.**

**Τῆς Θεοτόκου. Ὁ Εἱρμός.**

*Θεοῦ συγκατάβασιν, τὸ πῦρ ᾐδέσθη ἐν Βαβυλῶνι ποτέ· διὰ τοῦτο οἱ Παῖδες, ἐν τῇ καμίνῳ ἀγαλλομένῳ ποδί, ὡς ἐν λειμῶνι χορεύοντες ἔψαλλον· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν. (Δίς).*

Σιὼν πόλις ἔμψυχε, τοῦ Βασιλέως τῶν Βασιλέων Χριστοῦ, περὶ ἧς ἐλαλήθη, δεδοξασμένα χαῖρε Θεόνυμφε. Χαῖρε ἡ κλίμαξ δι᾽ ἧς μεταβαίνομεν, πρὸς οὐρανὸν ἀπὸ γῆς, καὶ ἐκ φθορᾶς εἰς ζωήν.

Κυρίαν σε Δέσποιναν, καὶ Θεοτόκον πάντες δοξάζομεν· διὰ σοῦ γὰρ ὁ Πλάστης, τὴν σωτηρίαν τῇ φύσει πάσῃ σαφῶς ἐβράβευσε· καὶ διὰ τοῦτο συμφώνως κραυγάζομεν· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Παλάτιον ἔμψυχον, τοῦ Βασιλέως Χριστοῦ Πανύμνητε· Χαῖρε στάμνε τὸ μάννα, ἐν τῇ γαστρί σου, θείως βαστάσασα, τὸ διατρέφον τοὺς πόθῳ κραυγάζοντας· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἡ μόνη ἀπείρανδρος, ἡ μόνη ἄφθορος χαῖρε Δέσποινα, ἡ Παρθένος καὶ Μήτηρ· ἡ παιδοτόκος καὶ ἀπειρόγαμος· τὸ ξένον χαῖρε καὶ φρικτὸν μυστήριον· χαῖρε Ἀγγέλων τρυφὴ καὶ τῶν ἀνθρώπων χαρά.

### Κανὼν Α΄ τοῦ Ἱεράρχου. *Θεοῦ συγκατάβασιν.*

Νεκροῦται ὁ θάνατος, καὶ καταργεῖται κράτος δαιμόνιον, τῷ σταυρῷ τοῦ Δεσπότου, ὑμεῖς δὲ κράτος πάσης αἱρέσεως, καταβαλόντες δυνάμει τοῦ Πνεύματος, ἕνα Θεὸν προσκυνεῖν, πάντας διδάσκετε.

Ὡράθης Βασίλειε, τῆς Ἐκκλησίας νοῦς καὶ σοφίας βυθός, ἐρευνῶν τὰς τῶν ὄντων, ἐναρμονίους φύσεις καὶ τάξεις σοφέ, στάθμη δογμάτων ἐνθέων ἡ ἄπταιστος, διορθωτὴς τῶν ἠθῶν, καὶ μοναζόντων κανών.

Τυποῦται Γρηγόριε, ἡ Ἐκκλησία καὶ κανονίζεται, τῶν σῶν λόγων τῷ κάλλει, καὶ τῇ στεῤῥᾷ βροντῇ τῶν δογμάτων σου, δι᾽ ὧν καὶ βάλλει σφοδρῶς πᾶσαν αἵρεσιν, ἕνα Θεὸν ἐν Τρισί, προσώποις σέβουσα.

Ὡραῖος παράδεισος, τῇ Ἐκκλησίᾳ ὤφθης Χρυσόστομε, τῷ ποικίλῳ τῶν λόγων, καὶ δαψιλεῖ τε καὶ ἀμιμήτῳ σοφέ, τρέφων εὐφραίνων διδάσκων τοὺς ψάλλοντας· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

### *Θεοτοκίον.*

Ἐπέβλεψεν Ὅσιε, ἐπὶ τὸν πρᾶον ὄντως καὶ ἥσυχον, τοῦ Κυρίου ἡ Μήτηρ, σὲ καὶ φωτὶ τῷ θείῳ ἀνύψωσεν, ὥσπερ ᾐτήσω καὶ σύμφωνον ἔδειξε, τῶν κορυφαίων λαμπρόν, τοῦ θεολόγων χοροῦ.

**Κανὼν Β΄ τοῦ Ἱεράρχου.** *Σὲ νοητήν, Θεοτόκε.*

Ὥσπερ βροντῆς, ἤχῳ τοῖς σοῖς δόγμασι, καὶ λόγων θείων ἀστραπῇ, ἐκπλαγέντα βλέπειν τρανῶς, Πάτερ, οὐ δεδύνηνται, πλάνης τὰ ἀνδράποδα, καὶ ψηλαφῶσιν, ὡς γέγραπται, ὡσεὶ τυφλὸς νῦν τοὺς τοίχους, γελοίως οἱ παράφρονες.

Νὺξ ἀφεγγής, ἀπειθοῦσι γέγονε, καὶ νῦν τὸ φῶς τὸ φυσικόν, βασιλεία δόξα Θεοῦ, ἥνπερ καὶ παρέδειξε, μύσταις ὁ Φιλάνθρωπος, ἐν Θαβωρίῳ, Γρηγόριε· ἧς μετασχὼν δαψιλῶς, κοινωνεῖς τοῖς πειθαρχήσασιν.

*Δόξα.*

Τοὺς δυσσεβῶς, εἰς τὴν χάριν, ἔνδοξε, ἐξυβρικότας τοῦ Θεοῦ, ἡσυχίαν καὶ προσευχήν, θέωσίν τε ἄῤῥητον, αἰσχρῶς μυκτηρίσαντας, σὺ καταισχύνας ἀπήλασας, θείας αὐλῆς, ἣν φυλάττοις, ἀεὶ ταῖς σαῖς δεήσεσιν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἔλθοις καὶ νῦν, εἰς ἡμῶν βοήθειαν, ἡ σωτηρία ἡ κοινή, Γρηγορίου τὰς προσευχάς, δεχομένη, Δέσποινα, πάθη τε κοιμίζουσα, τὰ τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ τὴν κοινὴν ταραχήν, καὶ φθορὰν ταχέως λύουσα.

**Καταβασία.**

**Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.**

**ᾨδὴ η΄.**

Τῆς Θεοτόκου.

**Ὁ Εἱρμός.**

*Ἑπταπλασίως κάμινον, τῶν Χαλδαίων ὁ τύραννος, τοῖς θεοσεβέσιν, ἐμμανῶς ἐξέκαυσε, δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδών, τὸν Δημιουργὸν καὶ Λυτρωτὴν ἀνεβόα· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. (Δίς).*

Λόγον Θεοῦ τὸν ἄναρχον, καὶ Πατρὶ συννοούμενον, τὸν ἐκ τοῦ μὴ ὄντος, Πατρικῷ βουλήματι, τὸ πᾶν συστησάμενον, θεοπρεπῶς γεγέννηκας, σάρκα γεγονότα, δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους, διό σε Θεοτόκον, ὀρθοδόξως φρονοῦμεν, Χριστὸν ὑπερυψοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Οὐρανομήκη κλίμακα, νοητήν σε γινώσκομεν, δι᾽ ἧς καταβάς, μετὰ σαρκὸς ὁ Ὕψιστος, ἀνθρώποις ὡμίλησε, καὶ ταπεινοὺς ἀνύψωσε, πρὸς τὴν ὑψηλήν, τῶν οὐρανῶν πολιτείαν· ἐντεῦθεν ἀνωτέραν, οὐρανῶν καὶ Ἀγγέλων, καὶ πάντων ποιημάτων, κηρύττομέν σε Κόρη.

Ἱερωτέρα πέφηνας, Θεοτόκε Πανάμωμε, τῆς ὑπερκοσμίου, τῶν Ἀγγέλων τάξεως· τὸν τούτων γὰρ τέτοκας, Δημιουργὸν καὶ Κύριον, ἐκ παρθενικῆς, ἀπειρογάμου νηδύος, ἐν δύο ταῖς οὐσίαις, ἀσυγχύτως ἀτρέπτως, μιᾷ δὲ ὑποστάσει, Θεὸν σεσαρκωμένον.

Ἱκετικῶς βοῶμέν σοι, Θεοτόκε Πανύμνητε, μετὰ τῶν ἀπείρων, νοερῶν Δυνάμεων, Μαρτύρων Ὁσίων τε, καὶ Ἀποστόλων καὶ Προφητῶν, ποίησον πρεσβείαν, ὑπὲρ πάντων τῶν πίστει, ἐνθέως μελῳδούντων· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

**Κανὼν Α´ τοῦ Ἱεράρχου.** *Ἑπταπλασίως κάμινον.*

Νέος ἐφάνης ἔνδοξε, Ἠλιοὺ πῦρ ἐν Πνεύματι, ζήλῳ εὐσεβείας, καταφέρων ἄνωθεν, καὶ φλέγων τὰ θύματα, τῷ τῆς Τριάδος λόγῳ σοφέ, τοὺς δὲ λειτουργούς τε, καὶ προφήτας τῆς πλάνης, αἰσχύνων τε καὶ κτείνων, σιτουμένους ὡς πάλαι, δυσσεβοῦς βασιλίδος, τράπεζαν ψυχοφθόρον.

Μίαν ὑμεῖς Θεότητα, τρισυπόστατον ἄναρχον, ἐν μιᾷ οὐσίᾳ, προσκυνεῖν διδάξαντες, δυμάμεις ἐμφύτους τε, καὶ ἐνεργείας φέρουσαν, τοὺς δημιουργούς, τῶν ἐναντίων δογμάτων, Σαββελλίους, Ἀρείους, Μακεδονίους ἅμα, καὶ Βαρλαὰμ τὴν πλάνην, τροποῦσθε τὴν ἐσχάτην.

Εὗρε Δαυῒδ ὡς ἄλλον σε, θεηγόρε Γρηγόριε, νέον ἀριστέα, τῶν τριῶν τοῖς δόγμασι, Τριὰς ἡ ὑπέρθεος, ὑπὲρ αὐτῆς ἑστῶτα στεῤῥῶς, καὶ τὸν Γολιάθ, τὸν καθ᾽ ἡμᾶς ἀναιροῦντα, σφενδόνῃ τῇ τοῦ λόγου, καὶ λαὸν τοῦ Κυρίου, ῥυόμενον γενναίως, χειρὸς τῶν ἀλλοφύλων.

Γέρας τῶν πόνων εἴληφας, ἱεράρχα Γρηγόριε, τὴν τῶν ὁμοτίμων, θεολόγων ἕνωσιν, συνὼν θείῳ Πνεύματι, καὶ συγχορεύων νῦν τοῖς τρισί· τὴν γὰρ ἀρετήν, καὶ τὴν σοφίαν ἐκείνων, καὶ τὴν θεολογίαν, μιμησάμενος εὗρες, ἐν οὐρανοῖς πολίτας, καὶ φίλους καὶ συνοίκους.

*Θεοτοκίον.*

Ὁ λογικὸς παράδεισος, τὰ στοιχεῖα τὰ μέγιστα, τὰ τὴν νέαν κτίσιν, ἐν Χριστῷ συνέχοντα, καὶ λόγοις καὶ δόγμασι, τῶν θεολόγων ἡ τετρακτύς, σὺν τῇ Θεοτόκῳ, τῷ Δεσπότῃ τῶν ὅλων, πρεσβεύετε φυλάττειν, τὴν αὐτοῦ Ἐκκλησίαν, αἱρέσεων ἐκ λύμης, καὶ συμφορῶν παντοίων.

Κανὼν Β′ τοῦ Ἱεράρχου. *Ἐν καμίνῳ παῖδες.*

Ὤφθης, Πάτερ, ὅλος ἱλαρός, ἡδύς, εὐθὺς καὶ πρᾶος τοῖς πίστει σοι προσιοῦσιν, ἀποῤῥέων τὸ γλυκύ, τῶν λόγων, Γρηγόριε, θεῖον νᾶμα πάντων εὐφραῖνον, τῶν εὐσεβῶν καρδίας, δάκνον τοὺς νοσοῦντας, τὰς ψυχικὰς αἰσθήσεις.

Νοῦν καὶ γλῶτταν ὄντως εὐγενῆ, παιδείαν τε καὶ λόγους, καρδίαν κεκαθαρμένην, εὑρηκυῖα Θεοῦ, ἐν σοὶ κατεσκήνωσεν, ἡ σοφία, οἷς καταλλήλως ἐναρμοσθεῖσα, Πάτερ, θαῦμα πᾶσι ξένον ἀνέδειξέ σε κόσμῳ.

*Εὐλογοῦμεν Πατέρα Υἱὸν καὶ Ἅγιον Πνεῦμα τὸν Κύριον ὑμνοῦμεν.*

Νοητὸν βυθίσας Φαραώ, ῥεύμασι σῶν δακρύων, καὶ πᾶσαν τῶν Αἰγυπτίων καταδύσας στρατιάν, ἀνῆλθες εἰς ὄρος τῆς ἀπαθείας βάλλων ἐκεῖθεν, τοῦ Πνεύματος δυνάμει, στίφη πολεμίων, ὡς Μωσῆς ὁ μέγας.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὁ λαμπρὸς τῆς χάριτος, Ἁγνή, κήρυξ καὶ θεολόγος τοῦ Πνεύματος, Θεοτόκε, τοῦ δοθέντος διὰ σοῦ τῷ κόσμῳ, νῦν λόγοις, πανηγυρίζων ὕμνους ᾠδάς τε, καὶ πάντα σοι συνάγει, ὡς πιστὸς θεράπων, τὴν μνήμην σου δοξάζων.

## Καταβασία.

*Αἰνοῦμεν εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.*

*Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος· νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.*



## Ὠδὴ θ′.

Τῆς Θεοτόκου. Ὁ Εἱρμός.

*Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός, καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα, ὅτι Θεός, ὤφθη τοῖς ἀνθρώποις σωματικῶς, καὶ ἡ γαστήρ σου γέγονεν, εὐρυχωροτέρα τῶν οὐρανῶν· διό σε Θεοτόκε, Ἀγγέλων καὶ ἀνθρώπων, ταξιαρχίαι μεγαλύνουσι.* *(Δίς).*

Τὸν θρόνον τοῦ Δεσπότου τὸν ὑψηλόν, τὴν καθέδραν Χριστοῦ τὴν περίδοξον, τὸν εὐαγῆ, θάλαμον τὸν πάγχρυσον ἱερόν, τὸ Θεοδόχον τέμενος, τὴν παντοβασίλισσα Μαριάμ, τὴν δόξαν τῶν Ἀγγέλων, βροτῶν τὴν σωτηρίαν, πάντες πιστοὶ ἀνευφημήσωμεν.

Τὸν πάντων Βασιλέα καὶ Ποιητήν, συλλαβοῦσα Παρθένε ἐκύησας· καὶ νῦν ἰδού, οἷά περ Βασίλισσα δεξιᾷ, τούτου Ἁγνὴ παρίστασαι· ὅθεν δυσωπῶ σε ἀριστερᾶς, μερίδος λύτρωσαί με, ἐν ὥρᾳ τῇ τῆς δίκης, καὶ δεξιοῖς προβάτοις σύνταξον.

Σωτήριος γενοῦ μοι πύργος Ἁγνή, τῶν δαιμόνων ἀπείργων τὰς φάλαγγας, καὶ πειρασμῶν, ὄχλον καὶ κινδύνων ἀποσοβῶν· καὶ τῶν παθῶν τὴν ἔφοδον, πόῤῥω ἀπελαύνων καὶ καθαράν, διδοὺς ἐλευθερίαν, καὶ θείων χαρισμάτων τὴν ἀφθονίαν παρεχόμενος.

Σωτῆρα ὡς τεκοῦσα καὶ Λυτρωτήν, σωτηρίας με Κόρη ἀξίωσον, ἐπιτυχεῖν, Πάναγνε πταισμάτων μου τὰς σειράς, ταῖς σαῖς πρεσβείαις λύουσα· πάντα γὰρ ὡς θέλεις σὺ κατορθοῖς, ὡς φέρουσα ἐν κόλποις, τὸν πάντων Βασιλέα, τὸν ἀγαθότητι ἀσύγκριτον.

**Κανὼν Α′ τοῦ Ἱεράρχου.** *Ἐξέστη ἐπὶ τούτῳ.*

Αἱρέσεων ἀτόπων τὸ δυσσεβές, καθελόντες δυνάμει τοῦ Πνεύματος, καὶ τῇ βροντῇ, λόγων τῶν ἐνθέων ὑμῶν σοφοί, καὶ τῆς ἐσχάτης ὤφθητε, ταύτης ἀθεΐας ἐκριζωταί, Γρηγόριον εὑρόντες λόγοις ὑμῶν τοῖς θείοις, αὐτὴν γενναίως καταστρέψαντα.

Λαβὼν χειρὶ τὴν μάχαιραν νοητῶς, τὴν τοῦ Πνεύματος μάκαρ Γρηγόριε, καὶ τὴν σκευήν, πᾶσαν περιθέμενος τὴν αὐτοῦ, ὡς στρατηγὸς πανάριστος, εἷλες ὀχυρώματα δυσσεβῶν, τῶν ἰδεῶν τὴν πλάνην, κτισμάτων τὴν λατρείαν, πᾶσαν ἐκ μέσου ποιησάμενος.

Ὡς πάλαι τῶν αἱρέσεων τοὺς δεινούς, ὑπερμάχους οἱ τρεῖς ἀπεῤῥάπισαν, οὕτω καὶ σύ, λόγοις τοῖς ἐκείνων καταβαλών, τοὺς ἀρχηγοὺς Γρηγόριε, τῆς πολυθεΐας τῆς χαλεπῆς, Ἕλλησι καὶ Ἑβραίοις, συνέταξας ἀξίως, ὡς ὑβριστὰς τῆς θείας Χάριτος.

Ὡς κρήνη ἰαμάτων καὶ ποταμός, χαρισμάτων τοῦ Πνεύματος δέδεικται, τάφος ὁ σός, πέλαγος ἐλέους, ῥεῦμα καινόν, τῆς θεραπείας ἄμισθον, ψυχῶν καὶ σωμάτων· ὅπερ καὶ πρίν, ἠρέμα δεικνὺς Πάτερ, εἰς δόξαν νῦν τοῦ λόγου, τῆς εὐσεβείας ἐξεκάλυψας.

Νῦν θρόνῳ τοῦ Δεσπότου παρεστηκώς, καὶ συνών τοῖς Πατράσι καὶ φίλοις σου, καὶ ἀστραπῆς, Πάτερ ἐμφορούμενος θεϊκῆς, τῶν ὑμνῳδῶν σου μέμνησο, οὕσπερ ἔσχες πρότερον συνεργούς, καὶ σπουδαστὰς καὶ φίλους, καὶ νῦν σου τῶν ἐπαίνων, δημιουργοὺς μάκαρ δεχόμενος.

*Θεοτοκίον.*

Σὲ Δέσποινα Παρθένε τῶν ἱερῶν, θεολόγων τὸ κάλλιστον σύστημα, καὶ ἀφορμήν, λόγων καὶ δογμάτων καὶ ἀρχηγόν, ὡς Θεοτόκον ἔχοντες, κόσμον κατεφώτισαν διδαχαῖς· διὸ καὶ νῦν τοὺς ὕμνους, συνάγοντές σοι πάντας, ὑπὲρ ἡμῶν καθικετεύουσιν.

**Κανὼν Β′ τοῦ Ἱεράρχου.** *Τύπον τῆς ἁγνῆς.*

Θρόνῳ παρεστώς, Γρηγόριε, τῆς τρισηλίου καὶ ἀνάρχου Θεότητος, καὶ τῆς ἐνεργείας δαψιλῶς ἐμφορούμενος, καὶ τῆς χάριτος, ἥνπερ ἀνύμνησας, τῶν συνέργων καὶ φίλων, νῦν μεμνημένων σου μνημόνευε.

Εὗρες ἀμοιβὴν τῶν πόνων σου τὴν βασιλείαν, Πάτερ, Θεοῦ τὴν ἄναρχον, ἥνπερ εὐσεβῶς, ἐπὶ τῆς γῆς ἀνεκήρυξας, τοὺς στεφάνους τριπλοῦς κομισάμενος, ὁμολογίας θείας, ἱερωσύνης, ἡσυχίας τε.

*Δόξα.*

Ὤφθης μοναζόντων καύχημα, τῶν θεολόγων στόμα καὶ τέλος ἔνθεον, τῆς ἱερωσύνης τε, κανὼν ἀκριβέστατος· διὰ τοῦτο κἀνταῦθά σοι δέδοται, θαυμάτων θεία χάρις, λόγους τοὺς σοὺς ἐπισφραγίζουσα.

*Καὶ νῦν. Θεοτοκίον.*

Στόμα τῆς φρικτῆς λοχείας σου, καὶ θεολόγος γλῶσσα, Δέσποινα, γέγονε, τῆς ὑπερφυῶς, ἐκ σοῦ φανείσης θεώσεως, ὁ σεπτός σου θεράπων Γρηγόριος· οὗ νῦν τὰς ἱκεσίας, προσδεχομένη σῶσον ἅπαντας.

**Καταβασία.**

*Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὰ ἱερὰ Εἰσόδια τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε.*

## Ἐξαποστειλάριον.

*Ἦχος β΄. Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Χαῖρε Πατέρων καύχημα, Θεολόγων τὸ στόμα, τῆς ἡσυχίας σκήνωμα, τῆς σοφίας ὁ οἶκος, τῶν Διδασκάλων ἀκρότης, πέλαγος τὸ τοῦ λόγου· πράξεως χαῖρε ὄργανον, θεωρίας ἀκρότης, θεραπευτά, καὶ τῶν νόσων τῶν ἀνθρωπίνων· Πνεύματος χαῖρε τέμενος, καὶ θανὼν καὶ ζῶν Πάτερ.

*Θεοτοκίον. Ὅμοιον.*

Δέσποινα πάντων Ἄνασσα, πρόφθασον ἐν κινδύνοις, πρόφθασον ἐν ταῖς θλίψεσι, πάρεσο ἐν ἀνάγκαις, τῆς τελευταίας ἡμέρας, μὴ Σατᾶν ἡμᾶς λάβῃ, μὴ ᾍδης, μὴ ἀπώλεια· Βήματι τοῦ Υἱοῦ σου, τῷ φοβερῷ, ἀνευθύνους ἅπαντας παραστῆναι, ὦ Θεομῆτορ Δέσποινα, ποίησον σαῖς πρεσβείαις.

## Εἰς τοὺς Αἴνους.

**Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ παρόντα Στιχηρὰ Προσόμοια τοῦ Ἱεράρχου.**

*Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Πάτερ Ἱερὲ Γρηγόριε, σὺ τὸν Θεὸν ἐκ παιδός, ἀγαπήσας ἐξέφυγες, ὑλικὴν προσπάθειαν, καὶ τοῦ κόσμου τὸ ἄστατον· καὶ τὸν Σταυρὸν γενναίως ἀράμενος, τῷ σῷ Δεσπότῃ κατηκολούθησας· πένθει καὶ δάκρυσι, τὴν ψυχὴν καθάρας τε, σοῦ καὶ τὸν νοῦν, ὅλος ἐχρημάτισας, θεοειδέστατος.

Πάτερ Ἱερὲ Γρηγόριε, σὺ τὴν καρδίαν καλῶς, θεωρίᾳ καὶ πράξει τε, καθαρθεὶς τοῦ Πνεύματος, ἐχρημάτισας τέμενος· καὶ τὰς ἐλλάμψεις τούτου δεχόμενος, φῶς ὤφθης ὄντως τοῖς προσπελάζουσι· τοῦτο γενόμενος, κατὰ χάριν ἔνδοξε, ὅπερ αὐτό, φύσει θείᾳ πέφυκε, μὴ μεριζόμενον.

Πάτερ Ἱερὲ Γρηγόριε, σὺ τὴν κακίστην σποράν, καὶ τὴν ῥίζαν ἀνώρυξας, Βαρλαὰμ τὸν βέβηλον, ἐκτεμῶν ξίφει Πνεύματος, τὸν δὲ προδότην αὖθις τῆς πίστεως, μύστην τε τούτου λῆρον Ἀκίνδυνον, θείου πληρώματος, ἐκβαλὼν συνέταξας, τοῖς ὑβρισταῖς, Ἑβραίοις ζηλώσαντα, τὴν τούτων ἄνοιαν.

Ὥσπερ ἀστέρα φανώτατον, καὶ ἀπλανῆ σε Χριστός, ἐν τῷ ὕψει ἐστήριξεν, Ἐκκλησίας ἔνδοξε, ὀρθοδόξων τὰ τάγματα, φωταγωγοῦντα θείαις λαμπρότησι, τῶν διδαγμάτων σοῦ καὶ τῶν πράξεων, Πάτερ Γρηγόριε, Ἱεράρχα μέγιστε, πατριαρχῶν, τῶν ἁγίων σύσκηνε· θρέμμα τοῦ Ἄθωνος.

### *Δόξα. Ἦχος πλ. δ΄.*

Ἔχει μὲν τὴν θειοτάτην σου ψυχὴν καὶ ἄμωμον, ἀοίδιμε Γρηγόριε, ἡ οὐράνιος Ἱερουσαλὴμ καὶ ἀκατάλυτος, ἧς τὰ τείχη ἐν ταῖς ἀΰλοις χερσὶ τοῦ ἀοράτου Θεοῦ ἐζωγράφηνται· ἔχει δὲ καὶ τὸ σεβάσμιον καὶ καρτερικώτατόν σου σῶμα, ἡ ἱερά σου ποίμνη ἀληθῶς, πηγὴν ἀένναον θαυμάτων, χαρισμάτων ἄλλον Παράδεισον. Ἔνθα προστρέχοντες τὰ ἰάματα καρπούμεθα. Φρούρησον πανάριστε, τὴν σὲ μεγαλύνουσαν πόλιν, ἐξ αἱρέσεων λύμης πονηρῶν, παῤῥησίαν ὡς ἔχων πρὸς Χριστόν, τὸν σὲ δοξάσαντα.

### *Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

**Δοξολογία μεγάλη, τὸ Ἀπολυτίκιον τοῦ Ἱεράρχου, ἐκτενὴς καί Ἀπόλυσις·**

## Εἰς τὴν Λειτουργίαν

**Τυπικὰ καὶ οἱ Μακαρισμοί· ἡ γ′ καὶ ἡ ς′ ᾠδὴ ἐκ τῶν δύο κανόνων τοῦ Ἱεράρχου.**

### Ὠδὴ γ′.

Ἦχος πλ.δ′. *Ὁ στερεώσας κατ᾽ ἀρχάς.*

Ἐπὶ τὴν πέτραν σε Χριστέ, θεολογίας τὸν πύργον, ἐδομήσαντο οἱ τρεῖς σου τεχνῖται, τῶν πνευμάτων προσβολαῖς, τῶν ἐναντίων ἄσειστον· ὅθεν τοὺς πολεμίους, ἑστὼς Γρηγόριος ἔτρεψεν.

Ὁ θεολόγος ὁ στεῤῥός, ὁ τῆς σοφίας πολίτης, ὡς βολίσιν ἀστραπῶν κεχρημένος, πετροβόλοις τε στεῤῥοῖς, τοῖς τῶν Πατέρων δόγμασιν, αἱρετικῶν γενναίως, συτρίβει λόγοις τὰς φάλαγγας.

Λόγῳ Θεοῦ τὸ νοητόν, ὡς διανοίξαντες στόμα, ἐφειλκύσαντο τὸ Πνεῦμα τὸ θεῖον, τῆς Τριάδος οἱ λαμπροί, τρεῖς θεοφόροι κήρυκες· οἷσπερ σοφὲ συμπνεύσας, πολυθεΐαν ἐλίκμησας.

*Θεοτοκίον.*

Ἰδεῖν τὴν δόξαν σου τρανῶς, οἱ θεολόγοι Παρθένε, παρεσκεύασαν ἀνθρώπους τοῖς λόγοις, τὸ μυστήριον τοῦ σοῦ, Τόκου λαμπρῶς κηρύξαντες· ὃν ταῖς εὐχαῖς ἐκείνων, ἵλεων πᾶσιν ἀπέργασαι.

### Ὠδὴ ς′.

Ἦχος α′. *Σπλάγχνων Ἰωνᾶν.*

Γνώμων ἀρετῆς, ὁ ἔνθεος βίος σου, ὡράθη πιστοῖς, ὄντως, Γρηγόριε, εὐσεβείας δέ, στάθμη λόγος ὁ σός καὶ τὰ δόγματα, οἷς τὸ γνήσιον καὶ νόθον διακρίνεται, ἕνα τὸν Θεὸν κηρύττουσι, παντοδύναμον μόνον καὶ ἄκτιστον.

Μίαν εὐσεβῶς, κηρύξας Θεότητα, ὁ μέγας ἡμῖν ὤφθη Γρηγόριος, ὑποστάσεσιν, ἐν Τρισὶ μιᾷ φύσει δυνάμεσι, διὰ πάντων τὴν αὐτὴν ἁπλῆν καὶ ἄκτιστον, πάντας καταισχύνας ἄριστα, τοὺς ληροῦντας κτιστὴν τὴν Θεότητα.

*Δόξα.*

Τύπους παρασχών, δογμάτων, Γρηγόριε, καὶ λόγους λαμπρούς, οὕσπερ ἀνέπτυξας, τὴν διάνοιαν, τῶν σεπτῶν θεολόγων ἐν Πνεύματι, σαῖς εὐχαῖς ἀκαινοτόμητα συντήρησον, ταῦτα, τὴν Χριστοῦ λυτρούμενος, Ἐκκλησίαν ἐκ πάσης αἱρέσεως.

*Καὶ νῦν. Θεοτοκίον.*

Θρόνων, Χερουβείμ, Δυνάμεων, Δέσποινα, καὶ πάσης ὁμοῦ, τῆς ἄνω Τάξεως, ὑπερτέρα σύ, ἀνεδείχθης ὡς θρόνος ἀπόῤῥητος, χρηματίσασα Θεοῦ τῆς ὑποστάσεως, ὅνπερ ὡς Υἱόν σου ἵλεων, τοῖς πιστῶς σε ὑμνοῦσιν ἀπέργασαι.

**Ἀπολυτίκιον.**

*Ἦχος πλ. δ΄.*

Ὀρθοδοξίας ὁ φωστήρ, Ἐκκλησίας τὸ στήριγμα καὶ διδάσκαλε, τῶν μοναστῶν ἡ καλλονή, τῶν Θεολόγων ὑπέρμαχος ἀπροσμάχητος, Γρηγόριε θαυματουργέ, Θεσσαλονίκης τὸ καύχημα, κήρυξ τῆς χάριτος, ἱκέτευε διὰ παντός, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Κοντάκιον.**

*Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.*

Τὸ τῆς σοφίας ἱερὸν καὶ θεῖον ὄργανον, θεολογίας τὴν λαμπρὰν συμφώνως σάλπιγγα, ἀνυμνοῦμέν σε Γρηγόριε θεοῤῥῆμον. Ἀλλ᾽ ὡς νοῦς Νοΐ τῷ πρώτῳ παριστάμενος, πρὸς Αὐτὸν τὸν νοῦν ἡμῶν Πάτερ ὁδήγησον, ἵνα κράζωμεν· Χαῖρε, Κήρυξ τῆς χάριτος.

**Καὶ τέλος τὸ Κοντάκιον τῆς Ἑορτῆς.**

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὁ καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι θείῳ· ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ· αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

*Ἀπόστολον ζήτει τῇ ιζ΄ Νοεμβρίου καὶ Εὐαγγέλιον τῇ ιγ΄. Νοεμβρίου.*

**Κοινωνικόν:** *Εἰς μνημόσυνον αἰώνιον...*

**Μεγαλυνάριον.**

Οἱ τοῖς ἡδυπνόοις σου καὶ σοφοῖς, λόγοις ὁμιλοῦντες, θεοῤῥῆμον γνῶσιν Θεοῦ, καὶ σοφίαν πάντες, οὐράνιον μυοῦνται, Γρηγόριε θεόφρον, σὲ μεγαλύνομεν.

Τ Ε Λ Ο Σ  Κ Α Ι  Τ Ω  Θ Ε Ω  Δ Ο Ξ Α